(Σω.) ἄνδρε[ς, τί δρῶ;
(Θυγ.) ἐὰν δὲ τοῦτ' αἴσθητ', ἀπολεῖ κακ[ῶς πάνυ
παίων ἐκείνην.
(Σω.) οὐ σχολὴ μὰ τ[οὺς θεούς.
(Θυγ.) ὦ φίλταται Νύμφαι, παρ' ὑμῶν λη̣[πτέον.
αἰσχύνομαι μέν, εἴ τινες θύο⟨υ⟩σ' ἄ[ρα,
ἔνδον ἐνοχλεῖν—
(Σω.) ἀλλ' ἂν ἐμοὶ δ[οῦναι θέλῃς,
βάψας ἐγώ σοι τ[ὴν χύτραν ἥξ]ω φέρων.
(Θυγ.) ναὶ πρὸς θεῶν α[. . . . . .].
(Σω.) ἐλευθερίως γέ πως
ἄγροικός ἐστιν.
(Θυγ.) ὦ [πολυτί]μητοι θεοί·
τίς ἄν με σώσαι δ̣[αιμό]νων; τάλαιν' ἐγώ.
τίς ἐψόφηκεν; ἆρ' ὁ [πά]π̣ας ἔρχεται;
ἔπειτα πληγὰς λ̣[ήψ]ομ', ἄν με καταλάβῃ
ἔξω.